Ακαδημία Αθηνών / Academy of Athens



ραίεσθαι, κίρνασθαι, συνών. *μίσγεσθαι*). Ἐμπεδοκλῆς 35.8 *πολλὰ δ' ἄμεικτ' ἕστηκε κ ε ρ α ι ο μ έ ν ο ι σ ι ν ἐναλλάξ, ὅσσ' ἔτι Νεῖκος ἔρυκε μετάρσιον* 71.3 *πῶς ὕδατος γαίης τε καὶ αἰθέρος ἠελίου τε κ ι ρ ν α μ έ ν ω ν εἴδη τε γενοίατο χροῖά τε θνητῶν.*

**Κεραυνός.** Κεραυνὸς/ἀστροπελέκι, thunderbolt, Ἡράκλειτος 64 *τὰ δὲ πάντα οἰακίζει Κ ε ρ α υ ν ό ς.*

**κερδαλέος.** Ἐπωφελής, beneficial, Δημόκριτος 202 *ἀνοήμονες τῶν ἀπεόντων ὀρέγονται, τὰ δὲ παρεόντα καὶ παρῳχημένων κ ε ρ δ α λ ε ώ τ ε ρ α ἐόντα ἀμαλδύνουσιν.*

**κέρδος** (ἀντίθ. *ζημία*). Κέρδος/ὠφέλεια, gain/profit, Δημόκριτος 197 *ἀνοήμονες ῥυσμοῦνται τοῖς τῆς τύχης κ έ ρ δ ε σ ι ν. οἱ δὲ τῶν τοιῶνδε δαήμονες τοῖς τῆς σοφίης* 220 *κακὰ κ έ ρ δ ε α ζημίαν ἀρετῆς φέρει* 221 *ἐλπὶς κακοῦ κ έ ρ δ ε ο ς ἀρχὴ ζημίης* 262.3 *ὃς δ' ἂν παρὰ νόμον ἀπολύῃ κ έ ρ δ ε ι ὁρίζων ἢ ἡδονῇ, ἀδικεῖ.*

**κέρματα.** Κέρματα/τμήματα, fragments/portions, Ἐμπεδοκλῆς 101.1 *κ έ ρ μ α τ α θηρείων μελέων μυκτῆρσιν ἐρευνῶν.*

**κεύθειν.** Φυλάγω μέσα, keep in, Ἐμπεδοκλῆς 100.5 *ὥστε φόνον μὲν κ ε ύ θ ε ι ν.*

**κεφαλή.** Κεφαλή, head, Ἐμπεδοκλῆς 134.1 *οὐδὲ γὰρ ἀνδρομέῃ κ ε φ α λ ῇ κατὰ γυῖα κέκασται* Φιλόλαος 13.1 *κ ε φ α λ ὰ μὲν νόου (*sc. *ἀρχά), καρδία δὲ ψυχᾶς καὶ αἰσθήσιος* Διογένης 6.4-26-28-33 *καὶ ἄνω εἰς τὴν κ ε φ α λ ὴ ν παρὰ τὰς κλεῖδας διὰ τῶν σφαγῶν ... αἱ δ' εἰς τὴν κ ε φ α λ ὴ ν τείνουσαι ... σχίζονται εἰς τὴν κ ε φ α λ ὴ ν πολλαὶ ... εἰς ἣν αἱ πλεῖσται ἐκ τῆς κ ε φ α λ ῆ ς συνέχουσιν αὐτῆς.*

**κὴρ 1.** Κακὴ Μοίρα (προσωποπ.), Bad Fate (personif.), Ἐμπεδοκλῆς 121.2 *ἀτερπέα χῶρον, ἔνθα Φόνος τε Κότος τε καὶ ἄλλων ἔθνεα Κ η ρ ῶ ν ... ἠλάσκουσιν* **2.** Κακοσύνη, curse, Δημόκριτος 191.23 *οὐκ ὀλίγας κ ῆ ρ α ς ἐν τῷ βίῳ διώσεαι, φθόνον καὶ ζῆλον καὶ δυσμενίην* **3.** Συμφορά, disaster, Δημόκριτος 285 *γινώ-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ